eul_wid: mpi-aa

*Λιμήνιος ὁ Ἀθηναῖος* · Limenius of Athens

# Delphic Paean II and Prosodion to Apollo

## *Δελφικὸς Παιὰν Β' καὶ Προσόδιον πρὸς Ἀπόλλωνα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

1 [Ἴ]τ' ἐπὶ τηλέσκοπον τάν[δ]ε Πα[ρνασί]αν [φιλόχορον]
2 δικόρυφον κλειτύν, ὕμνων κ[ατά]ρχ[ετε δ' ἐμῶν,
3 Πιερίδες, αἳ νιφοβόλους πέτρας ναίεθ' [Ἑλι]κωνίδ[ας·]
4 μέλπετε δὲ Πύθιον χ[ρ]υσοχαίταν ἕ[κατ]ον εὐλύραν
5 Φοῖβον, ὃν ἔτικτε Λατὼ μάκαιρα πα[ρὰ λίμνᾳ] κλυτᾷ,
6 χερσὶ γλαυκᾶς ἐλαίας θιγοῦ[ς' ὄζον ἐν ἀγωνίαι]ς ἐριθα[λῆ.]
7 Πᾶ[ς δὲ γ]άθησε πόλος οὐράνιος [ἀννέφελος ἀγλαός,]
8 [ν]ηνέμους δ' ἔσχεν αἰθὴρ ἀε[λλῶν ταχυπετ]εῖς [δρό]μους,
9 λῆξε δὲ βαρυβρόμων Νη[ρέως ζαμενὲς ο]ἶδμ'
10 ἠδὲ μέγας Ὠκεανός, ὃς πέριξ [γᾶν ὑγραῖς ἀγ]κάλαις ἀμπέχει.
11 Τότε λιπὼν Κυνθίαν νῆσον ἐ[πέβα θεὸ]ς
12 πρω[τό]καρπον κλυτὰν Ἀτθίδ' ἐπὶ γαλ[όφῳ πρῶνι] Τριτωνίδος·
13 μελίπνοον δὲ Λίβυς αὐδὰγ χέω[ν λωτὸς ἀνέμελ]πεν ἁδεῖαν ὄπα μειγνύμενος αἰόλ[οις κιθάριος μέλεσιν, ἅ]μα δ'
14 ἴαχεν πετροκατοίκητος ἀχ[ὼ Παιὰν ἰὲ Παιάν·]
15 [ὁ] δὲ γέγαθ', ὅτι νόῳ δεξάμενος
16 ἀμβρόταν Δι[ὸς ἐπέγνω φρέ]ν'· ἀνθ' ὧν ἐκείνας ἀπ' ἀρχᾶς Παιήονα κικλήσκ[ομεν ἅπας
17 λ]αὸς α[ὐτο]χθόνων ἠδὲ Βάκχου μέγας θυρσοπλὴ[ξ
18 ἑσμὸς ἱ]ερὸς τεχνιτῶν ἔνοικος πόλει Κεκροπίᾳ.
19 Ἀ[λλὰ χρησμ]ῳδὸν ὃς ἔχεις τρίποδα, βαῖν' ἐπὶ θεοστιβ[έα
20 τάνδε Π]αρνασίαν δειράδα φιλένθεον.
21 Ἀμφὶ πλόκ[αμον σὺ δ' οἰ]νῶ[πα] δάφνας κλάδον πλεξάμενος
22 ἀπ[λέτους θεμελίους τ'] ἀμβρότᾳ χειρὶ σύρων, ἄναξ,
23 Γ[ᾶς πελώρῳ συναντᾷς] κόρᾳ.
24 Ἀλλὰ Λατοῦς ἐρατογ[λέφαρον ἔρνος ἀγρία]ν

παῖδα Γᾶ[ς] τ’ ἔπεφνες ἰοῖς, ὁ[μοῦ τ’ ἀναβοᾳ̃ς (?) ἡ
δὲ] πόθον ἔσχε ματρὸς [φίλας ? ..]ηρ
ἃ κατέκτ[α]ς οσ[....
[σύ]ριγμ’ ἀπε..ων[...
...] ἐφρούρε[ις δὲ Γᾶ[ς]
[ἱερόν, ὦναξ, παρ’ ὀμφαλόν, ὁ βάρ]βαρος Ἄρης
ὅτε [τε]ὸν μαντόσ[υνον οὐ σεβίζων ἕδος πολυκυθ]ὲς ληζόμενος
ὤλεθ’ ὑγρᾳ̃ χ[ιόνος ἐν ζάλᾳ.]
[Ἀλλ’, ὦ Φοῖβε,] σῷζε θεόκτιστον Παλλάδος [ἄστυ καὶ
λαὸν κλεινόν, σύν] τε θεά,
τόξων δεσπότι Κρησίω[ν]
κυνῶ[ν τ’ Ἄρτεμις, ἠδὲ Λατὼ] κυδίστα· καὶ ναέτας
Δελφῶν τ[ημελεῖθ’ ἅμα τέκνοις συμ]βίοις δώμασιν ἀπταίστους, Βάκχου [θ’ ἱερονίκαισιν
εὐμε]νεῖς μόλετε
προσπόλοισ[ι], τάν τε δορί- [στεπτον κάρτεϊ] Ῥωμαίω[ν]
ἀρχὰν αὔξετ’ ἀγηράτῳ
θάλ[λουσαν φερε]νίκαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org